οὐκ ἐξῃρημένως δέχονται ὡς οἱ ὑπερβεβηκότες ἔχουσιν, καὶ διὰ τοῦτο μένουσιν ἀεὶ ἑκάτεροι ἐν τῇ τάξει τῇ ἐξ ἀρχῆς, καὶ τελειοτέραν οὗτοι, κἀκεῖνοι ἀτελεστέραν ἔχοντες ἐπιστήμην. Καὶ οὐ δεῖ θαυμάζειν· καὶ ἐν ἀνθρώποις γὰρ τὸ αὐτὸ πρᾶγμα ἐντελέστερον νοεῖ ὁ διδάξας ἢ ὁ παρ' ἐκείνου μαθών.

f. 275v Τὸ δὲ τῆς θείας | σαρκώσεως μυστήριον ᾔδεσαν μὲν καὶ οἱ ὑποβεβηκότες ἐκ τῶν ὑψηλοτέρων ἀπὸ τῶν αἰώνων, οὐ μέντοι γε ἐντελῶς· μετὰ δὲ ταῦτα προέκοψαν κατὰ τὴν τούτου γνῶσιν, τελεσθέντος τοῦ μυστηρίου.

Ὁ δὲ περὶ τῶν ἀνηκόντων τῇ διοικήσει τοῦ κόσμου καὶ μάλιστα πρὸς τὴν τῶν ἐκλεκτῶν σωτηρίαν φωτισμὸς ἐκ τῶν ὑψηλοτέρων ἀγγέλων μενεῖ τοῖς ὑποδεεστέροις μέχρι τῆς κρίσεως.

## CVII. — Περὶ τῆς τῶν ἀγγέλων ὁμιλίας.

1. Ὅτι ἀλλήλοις οἱ ἄγγελοι διαλέγονται, ὡς ἐν τῇ πρὸς Κορινθίους πρώτῃ· „Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων". Ὡς προείρηται γάρ, ἡ θέλησις κινεῖ τὸν νοῦν πρὸς τὴν αὐτοῦ ἐνέργειαν· τὸ δὲ νοητὸν τριχῶς ἐστιν ἐν τῷ νῷ· πρῶτον, καθ' ἕξιν καὶ μνήμην· δεύτερον, ὡς ἐνεργείᾳ θεωρητόν, ἢ νοηθέν· τρίτον, ὡς πρὸς ἕτερον ἀναγόμενον. Ἄγεται δὲ ὁ νοῦς ἀπὸ τοῦ ἔχειν πρὸς τὸ χρῆσθαι διὰ θελήσεως καὶ τὸ νόημα τῆς θελήσεως, καὶ τὸ νόημα τῆς χρήσεως πρὸς ἕτερον τάττεται, οἷον πρὸς τὸ πρᾶξαι ἢ δηλῶσαί τινι δι' αὐτῆς. Ὅταν δ' ὁ νοῦς ἑαυτὸν ἐπιστρέφῃ πρὸς τὸ θεωρεῖν ἐνεργείᾳ ὅπερ κέκτηται ἕξει, τότε ἑαυτῷ τις διαλέγεται· αὐτὸ γὰρ τὸ ἔνδον συλληφθὲν τοῦ νοῦ ἐνδιάθετος λόγος καλεῖται· καθὸ δὲ τὸ τοῦ ἀγγέλου νόημα τάττεται πρὸς τὸ δηλοῦν ἑτέρῳ, αὐτῇ τῇ τοῦ ἀγγέλου θελήσει τὸ τοῦ ἑνὸς ἀγγέλου νόημα γίνεται γνώριμον ἄλλῳ, καὶ οὕτως εἷς ἄγγελος ἑτέρῳ διαλέγεται. Οὐδὲν γάρ ἐστιν ἕτερον τὸ διαλέγεσθαι ἑτέρῳ ἢ τὸ τὸ νόημα τοῦ νοῦ ἑτέρῳ δηλοῦν· δυοῖν γὰρ ὄντων διαφραγμάτων τοῦ ἐν ἡμῖν νοήματος, τῆς τε θελήσεως ἀσφαλιζομένης αὐτὸ καὶ μὴ θέλουσι καὶ ἔξω προβάλλειν, καθὸ εἴρηται, ὅτι „τὸ τοῦ ἀνθρώπου οὐδεὶς εἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ"· καὶ τῆς σωματικῆς παχύτητος, δι' ἥν, καὶ τῆς βουλήσεως ταττούσης τὸ νόημα πρὸς τὸ γνωσθῆναι ἑτέρῳ, οὐκ αὐτίκα γινώσκεται ἐκείνῳ, ἀλλὰ διὰ σημείων αἰσθητῶν ἢ τῆς ἐν τῇ γλώττῃ ὁμιλίας φανεροῦται καιροῦ τινος τριβῇ πλείονος ἢ ἐλάττονος, τὸ διάφραγμα τὸ δεύτερον οὐκ ἔχει ὁ ἄγγελος, καὶ διὰ τοῦτο, αὐτίκα βουληθέντος τὸ ἑαυτοῦ δηλοῦν νόημα, ἄλλος γινώσκει. Γλῶσσα δὲ ἐν αὐτοῖς μεταφορικῶς ἡ πρὸς τὸ φανεροῦν οὕτω δύναμις λέγεται.

2. Ὅτι καὶ οἱ ταπεινότεροι διαλέγονται τοῖς ὑψηλοτέροις, ἀλλ' οὐ

---

15 I Cor. 13, 1    30 I Cor. 2, 11

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φωτίζοντες· τοῦτο γὰρ τοῖς ὑψηλοτέροις προσήκει· ἀλλὰ μόνον τὸ ἴδιον νόημα τάττοντες τῇ ἰδίᾳ θελήσει πρὸς τὸ τοῖς ὑπερκειμένοις γνωρίζεσθαι· ὁ δὲ φωτισμὸς οὐ περὶ τῶν ἐκ τῆς ἰδίας θελήσεως ἀνισχόντων, ἀλλὰ τῆς θείας ἐστίν.

3. Ὅτι ὁ ἄγγελος διαλέγεται τῷ Θεῷ. Ἐν γὰρ τῷ τετάρτῳ Ζαχαρίου f. 276
λέγεται· „Ἀπεκρίθη ὁ ἄγγελος τῷ Θεῷ καὶ εἶπεν· Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μέχρι τίνος οὐκ ἐλεήσεις τὴν Ἱερουσαλήμ;" Διαλέγεται δὲ οὐχ ὡς κοινωνῶν τῆς ἰδίας νοήσεως, ἢ περὶ τῶν εἰς τὴν τοῦ πράγματος ἀλήθειαν ἀνηκόντων, ἢ περὶ τῶν τῆς κτιστῆς θελήσεως ἠρτημένων· πάσης γὰρ ἀληθείας καὶ πάσης θελήσεως ὁ Θεὸς ἀρχὴ καὶ δημιουργός· ἀλλὰ τρόπῳ μαθητιῶντος ἢ ἐπερωτῶν τὴν θείαν βούλησιν περὶ τῶν πρακτέων, ἢ τὴν θείαν ὑπεροχήν, ἣν οὔπω κατείληφε θαυμάζων ἐφ' οἷς φωτισθῆναι ἐπιθυμοῦσιν· τοῦτο δὲ οὐκ ἀεὶ γίνεται. Κατὰ δὲ τὴν ὁμιλίαν, ᾗ αἰνοῦσι τὸν Θεὸν καὶ ἐκπλήττονται, ἀεὶ ὁμιλοῦσι καὶ διαλέγονται τῷ Θεῷ.

4. Ὅτι τὸ τοπικὸν διάστημα οὐ δύναται κωλύειν τὴν πρὸς ἀλλήλους τῶν ἀγγέλων ὁμιλίαν· ἡ γὰρ νοερὰ τοῦ ἀγγέλου ἐνέργεια παντελῶς ἐστι κεχωρισμένη τόπου καὶ χρόνου, ἐν ᾗ ἡ τῶν ἀγγέλων ὁμιλία συνίσταται. Καὶ γὰρ καὶ ἡ ἡμετέρα νοερὰ ἐνέργεια κατὰ ἀφαίρεσίν ἐστι τοῦ ἐνταῦθα καὶ νῦν, εἰ μὴ κατὰ συμβεβηκός, διὰ τὰ φαντάσματα, ἅπερ οὐδαμῶς εἰσιν ἐπὶ τῶν ἀγγέλων. Ἐν δὲ τῷ παντάπασι κεχωρισμένῳ τόπου καὶ χρόνου οὐδὲν συμβάλλεται οὔθ' ἡ τοῦ χρόνου διαφορά, οὔθ' ἡ τοῦ τόπου διάστασις.

5. Ὅτι τὴν ἑνὸς ἀγγέλου πρὸς ἕτερον διάταξιν οὐ πάντες γινώσκουσιν. Δύναται γὰρ ὁ ἄγγελος τὸ ἑαυτοῦ νόημα πρὸς τόνδε τὸν ἄγγελον τάττειν, καὶ οὐ πρὸς τόνδε· πρὸς ὃν δ' ἂν τάξειεν, ἐκεῖνος μόνος γινώσκων ἐστίν. Τοῦτο δ' ἀληθές ἐστι περὶ τῆς ὁμιλίας τῶν ἀγγέλων ἣν ποιοῦνται περὶ τῶν ταττομένων πρὸς τὴν τῆς κτιστῆς θελήσεως ἀρχήν, ὅπερ ἐστὶν ἴδιον ἑκάστου ἀγγέλου· ἀλλ' ὁ φωτισμὸς διαβαίνει πρὸς πάντας εὐτάκτως, διότι περὶ τῶν προϊόντων ἐκ τοῦ πρώτου κανόνος τῆς ἀληθείας ἐστίν, ἥτις ἐστὶν ἀρχὴ καὶ αἰτία πάντων τῶν ἀγγέλων, καὶ διὰ τοῦτο κοινός ἐστιν ὁ φωτισμός.

## CVIII. — Περὶ τῆς διακρίσεως τῶν ἀγγελικῶν ἱεραρχιῶν.

1. Ὅτι οὐκ εἰσὶν οἱ ἄγγελοι πάντες μιᾶς ἱεραρχίας, ἀλλὰ τρεῖς εἰσιν ἱεραρχίαι, ὡς ὁ Διονύσιος διαιρεῖ, τῇ μὲν κοινῇ πάντων ἀρχῇ οὐ διακρινόμεναι, ἥ ἐστιν ὁ Θεός, ἀλλ' ἑνὸς ἄρχοντος τοῦ Θεοῦ, καὶ μία ἱεραρχία ἐστίν· τῇ δὲ διὰ τῶν διακόνων κυβερνήσει διαφόρῳ οὔσῃ διακρινόμεναι· ἡ δὲ κυβέρνησις ἐκείνη κατὰ τὴν γνῶσίν ἐστιν καὶ τὸν φωτισμόν. Τριχῶς δὲ δύνανται θεωρεῖσθαι οἱ λόγοι τῶν ὄντων περὶ ὧν οἱ ἄγγελοι τὸν

6 Zach. 1, 12

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φωτισμὸν δέχονται· πρῶτον μέν, καθὸ προΐασιν ἐκ τῆς πρώτης ἀρχῆς, f. 276v καὶ οὗτος ὁ τρόπος ἁρμόττει τῇ | πρώτῃ ἱεραρχίᾳ, ἣ ἀμέσως ἐπὶ τὸν Θεὸν ἀνατείνεται· δεύτερον, καθόσον οἱ τοιοῦτοι λόγοι ἤρτηνται τῶν κτιστῶν αἰτίων, ἅπερ ἤδη τρόπον τινὰ πληθύονται, καὶ οὗτος οἰκεῖος ὁ τρόπος τῇ δευτέρᾳ ἱεραρχίᾳ· τρίτον, καθόσον οἱ τοιοῦτοι λόγοι προσάγονται ἑκάστῳ τῶν ὄντων καὶ καθόσον ἤρτηνται τῶν οἰκείων αἰτίων, καὶ οὗτός ἐστι τῆς ἐσχάτης ἱεραρχίας.

2. Ὅτι ἐν μιᾷ ἱεραρχίᾳ πλείους τάξεις εἰσίν· εἰσὶ γὰρ ἄκροι, μέσοι καὶ ἔσχατοι, ὅπερ ἐστὶν ἐν παντὶ πλήθει ὑπὸ μίαν ἀρχὴν τεταγμένῳ.

3. Ὅτι ἐν μιᾷ τάξει πλείους εἰσὶν ἄγγελοι, ἴσοι μὲν ὄντες ὅσον πρὸς τὴν κοινὴν τῆς τάξεως ὁμοιότητα, καθ' ἣν ὑπὸ μίαν εἰσὶ τάξιν· ἁπλῶς δὲ οὐκ ἴσοι, εἰ καὶ τὰς ἰδίας αὐτῶν διακρίσεις γινώσκειν ἡμεῖς οὐ δυνάμεθα, καθὸ ἕκαστος δηλονότι ἰδίαν ἔχει ὑπηρεσίαν καὶ τάξιν.

4. Ὅτι ἡ διάκρισις τῶν ἱεραρχιῶν καὶ τῶν τάξεων ἐν αὐτοῖς οὐ κατὰ τὰ τῆς χάριτος δῶρα μόνον, ἀλλὰ καὶ κατὰ τὰ τῆς φύσεως, συμπεπληρωμένως μὲν κατὰ τὰ δῶρα τῆς χάριτος, κατὰ διάθεσιν δέ, κατὰ τὰ δῶρα τῆς φύσεως, ἐπεὶ τὰ δῶρα τῆς χάριτος αὐτοῖς δίδονται κατὰ τὸ δεκτικὸν τῶν φυσικῶν δώρων, ὅπερ οὐκ ἔστιν ἐν τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς δώροις μόνοις τῆς χάριτος αἱ τάξεις ἐν αὐτοῖς διακρίνονται.

5. Ὅτι τὰ ὀνόματα καὶ αἱ ἰδιότητες τῶν τάξεων καλῶς ἀποδίδονται τοῖς ἀγγέλοις. Τὸ μὲν γὰρ τῶν σεραφὶμ ὄνομα ἐν ἕκτῳ τοῦ Ἡσαΐας κεῖται· τὸ δὲ τῶν χερουβὶμ ἐν πρώτῳ τοῦ Ἰεζεκιήλ· τὸ δὲ τῶν θρόνων ἐν πρώτῳ τῆς πρὸς Κολοσσαεῖς· κυριότητες δὲ καὶ δυνάμεις καὶ ἐξουσίαι καὶ ἀρχαὶ ἐν δευτέρῳ τῆς πρὸς Ἐφεσίους· τὸ δὲ τῶν ἀρχαγγέλων ἐν δευτέρῳ τῆς Ἰούδα κανονικῆς· τὰ δὲ τῶν ἀγγέλων ἐν πλείοσι τῆς Γραφῆς τόποις.

Καὶ τὸ μὲν σεραφὶμ ὄνομα καῦσις ἢ ἐμπρησμὸς ἑρμηνεύεται πρὸς δήλωσιν τῆς ὑπερβολῆς τῆς ἀγάπης, ὡς ἐν τῷ πυρὶ ὑπερβολὴ θέρμης ἐστίν· καὶ τῇ μὲν ἄνω κινήσει τοῦ πυρὸς συνεχῶς δηλοῦται τὸ ἀκλινῶς αὐτοὺς ἐπὶ τὸ θεῖον κινεῖσθαι· τῇ δὲ ὀξυτάτῃ τοῦ θερμαίνειν δυνάμει δείκνυται ἡ ἐνέργεια τῶν τοιούτων ἀγγέλων, δυνατῶς τοὺς ὑποτεταγμένους εἰς τὴν ὁμοίαν ζέσιν κινούντων καὶ διεγειρόντων καὶ παντελῶς αὐτοὺς καθαιρόντων διὰ τῆς ζέσεως καὶ ἀνάψεως· τῇ δὲ λαμπρότητι δείκνυται τὸ καὶ αὐτοὺς ἄσβεστον ἐν ἑαυτοῖς ἔχειν τὸ φῶς καὶ τοὺς ἄλλους φωτίζειν. Χερουβὶμ δὲ πλήρωμα γνώσεως ἑρμηνεύεται, δηλοῦντος τοῦ ὀνό- f. 277 ματος τὴν ἐν σοφίᾳ ὑπερβολήν. | Θρόνοι δὲ λέγονται τῇ πρὸς τοὺς ὑλικοὺς θρόνους ὁμοιότητι διὰ τὸ ἑδραῖον καὶ τὴν ὑποδοχήν· ἑδράζονταί τε γὰρ αὐτοὶ διὰ τοῦ Θεοῦ καὶ ὑποδέχονται ἐν ἑαυτοῖς τὸν Θεόν, καὶ τρόπον τινὰ πρὸς τοὺς ὑποκειμένους μετάγουσιν· διὰ τούτων γάρ, κατὰ τὸν Γρηγόριον, ὁ Θεὸς τὰς ἑαυτοῦ κρίσεις ἐξάγει. Αὕτη τοίνυν ἡ πρώτη ἱεραρχία

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐστίν, τοῖς σεραφὶμ καὶ τοῖς χερουβὶμ καὶ τοῖς θρόνοις συμπληρουμένη, ὧν τὰ μὲν σεραφὶμ ἀμέσως ἥνωται τῷ Θεῷ κατὰ τὴν γνῶσιν τῶν θείων μυστηρίων· τὰ δὲ χερουβὶμ ἐμμέσως τῶν ἄλλων ταγμάτων πληρέστερον· οἱ δὲ θρόνοι ἀμέσως τὴν δευτέραν ἱεραρχίαν φωτίζουσιν, ὡς εἶναι τοὺς θρόνους πρὸς τὴν δευτέραν ἱεραρχίαν ὅ εἰσι πρὸς τὰ χερουβὶμ ἡ τάξις τῶν σεραφίμ.

Τῆς οὖν πρώτης ἱεραρχίας πρὸς τὴν γνῶσιν τεταγμένης, ὡς δέδεικται, ἡ μετ' αὐτὴν πρὸς τὴν διοίκησιν τέτακται. Πρὸς δὲ τὸν λόγον τῆς διοικήσεως τρία συντελοῦσιν· ὅ τε διορισμὸς τῶν ὀφειλόντων πραχθῆναι, καὶ ἔστιν ἴδιον τῶν κυριοτήτων· τό τε παρέχειν δύναμιν πρὸς τὸ ταῦτα ἀποπληροῦν, καὶ ἔστι τῶν δυνάμεων· καὶ τὸ τὰ διωρισμένα ἀποπληροῦσθαι ὑπό τινων, καὶ τοῦτ' ἔστι τῶν ἐξουσιῶν, αἵ τοὺς ὑποτεταγμένους ἀγγέλους ἀμέσως διακοσμοῦσι πρὸς τὴν ἐκπλήρωσιν. Καὶ εἰσὶν αὖθις αἱ ἐξουσίαι πρὸς τὰς ἀρχὰς ὅπερ οἱ θρόνοι πρὸς τὰς κυριότητας καὶ τὴν δευτέραν ὅλην ἱεραρχίαν.

Πρὸς δὲ τὴν ἀποπλήρωσιν τῶν θείων μυστήριων πρῶται μὲν αἱ ἀρχαί, αἷς ἡ τῶν κοινοτέρων ἀνήκει κυβέρνησις, τῶν ἀνηκόντων δηλονότι ἔθνεσι καὶ βασιλείαις· ἔπειτα οἱ ἀρχάγγελοι, μέσοι τῶν ἀρχῶν καὶ τῶν ἀγγέλων, ἢ ὡς ἄρχοντες μόνου τοῦ τάγματος τῶν ἐσχάτων, ὥσπερ αἱ ἀρχαὶ ὅλης τῆς τάξεως· ἢ ὡς τὰ μεγάλα ἀπαγγέλλοντες καὶ ὑπὲρ λόγον, ὥσπερ ἄγγελοι οἱ τὰ μικρὰ καὶ ἐφ' ἃ ὁ λόγος δύναται ἑαυτὸν ἀμηγέπη ἐκτείνειν.

6. Πάντων δὲ τῶν οὐρανίων πνευμάτων ἀγγέλων προσαγορευομένων κοινῶς, καθόσον πάντες τὰ θεῖα ἐκφαίνουσιν, ἡ ἐσχάτη τάξις, διὰ τὸ σὺν οὐδεμιᾷ ὑπεροχῇ τῇ ἐκφάνσει ταύτῃ λειτουργεῖν, ἰδίως ἄγγελοι λέγονται, τῶν ἄλλων εὐτάκτῳ καὶ διαφόρῳ ὑπεροχῇ πρὸς τὴν ἔκφανσιν κεχρημένων· καὶ ἄλλως δὲ ἰδίως οὕτω λέγονται, ὡς ἀμέσως ἡμῖν ἀναγγέλλοντες τοῖς ἀνθρώποις.

Καὶ ἡ μὲν πρώτη ἱεραρχία λαμβάνει τοὺς λόγους ἐν αὐτῷ τῷ Θεῷ· ἡ δὲ δευτέρα, ἐν ταῖς καθόλου αἰτίαις· ἡ δὲ τρίτη, κατὰ τὸν πρὸς τὰ μερικὰ ἀποτελέσματα ἀφορισμόν. Καὶ αὖθις, διὰ τὸ τὸν Θεὸν | τέλος f. 277v
εἶναι οὐ μόνον τῶν ἀγγελικῶν μυστηρίων, ἀλλὰ καὶ ὅλης τῆς κτίσεως, τῆς μὲν πρώτης ἐστὶν ἡ θεωρία τοῦ τέλους· τῆς δὲ μέσης ἡ καθολικὴ περὶ τῶν πρακτέων διάθεσις· τῆς δὲ ἐσχάτης ἡ πρὸς τὸ ἀποτέλεσμα τῆς διαθέσεως προσαγωγή, ἥ ἐστι τοῦ ἔργου ἀποπλήρωσις. Ταῦτα γὰρ τὰ τρία ἐν πάσῃ ἐνεργείᾳ εὑρίσκεται.

7. Ὅτι αἱ τάξεις καὶ μετὰ τὴν τῆς κρίσεως ἡμέραν μενοῦσιν. Μενεῖ γὰρ ἡ τῶν βαθμῶν διάκρισις κατὰ τὴν διαφορὰν τῆς φύσεως καὶ τῆς χάριτος. Οὕτω γὰρ ἡ τῶν φύσεων ἀναιροῖτ' ἂν διαφορά, μὴ τούτων φθαρέντων, καὶ τὰ χαρίσματα τῆς δόξης ἀεὶ παρέσονται κατὰ τὴν διαφορὰν τῆς προηγησαμένης ἐν αὐτοῖς προαιρέσεως. Ἡ δὲ ἀποπλήρωσις τῶν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀγγελικῶν διακονιῶν παύσεται μέν, καθόσον αἱ λειτουργίαι τετάχαται πρὸς τὸ προάγειν ἐπὶ τὸ τέλος τινάς· διαμενεῖ δέ, καθόσον συντελεῖ εἰς τὴν ἐσχάτην τάξιν τοῦ τέλους, ὥσπερ καὶ ἀλλοῖαί εἰσιν αἱ τῶν στρατιωτικῶν τάξεων ὑπηρεσίαι ἐν τῷ πολέμῳ, καὶ ἀλλοῖαι ἐν τῷ θριάμβῳ. Ὃ δέ φησιν ὁ Ἀπόστολος, ὅτι „καταργήσει πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν ὁ Χριστός, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ“, τουτέστιν ὅταν ἀνάγῃ τοὺς πιστοὺς πρὸς τὴν ἀπόλαυσιν τοῦ Θεοῦ, νοεῖται κατὰ τὸν δεύτερον τρόπον, ἤγουν ὅσον κατὰ τὸ προάγειν ἄλλους εἰς τὸ τέλος. Φωτισθήσονταί τε οἱ ἄγγελοι ἐκ τῶν ὑπὲρ αὐτοὺς διηνεκῶς, εἰ καὶ μὴ κατὰ τὴν τῆς σοφίας κτῆσιν, ἀλλὰ κατὰ τὴν συντήρησιν.

8. Ὅτι οἱ ἄνθρωποι συγκαταταχθήσονται ταῖς ἀγγελικαῖς τάξεσιν· ὁ γὰρ Κύριος εἴρηκεν, ὅτι „ἔσονται ὡς ἄγγελοι ἐν οὐρανῷ“. Ἐπεὶ γὰρ τὸ φυσικὸν ἐν ταῖς τάξεσιν ὥσπερ ὑλικόν ἐστι, τελειωτικὸν δὲ τὸ ἐκ τοῦ δώρου τῆς χάριτος, ὅπερ τῆς θείας ἐλευθεριότητος ἤρτηται καὶ οὐ τῆς φυσικῆς τάξεως, δύνανται διὰ τοῦτο τοσαύτης χάριτος διὰ τοῦ δώρου τῆς χάριτος ἀξιωθῆναι οἱ ἄνθρωποι, ὥστ' ἐξισωθῆναι τοῖς ἀγγέλοις καθ' ἑκάστους ἐκείνων βαθμούς, ὅπερ ἐστὶ τὸ μετενεγχθῆναι τοὺς ἀνθρώπους πρὸς τὰ τάγματα τῶν ἀγγέλων. Οὐ μέντοι γε κατὰ τὸν κοινὸν νόμον οἱ μακάριοι διοικοῦσι τὰ ἀνθρώπινα, ὥσπερ οἱ ἄγγελοι· τῆς αὐτῆς γάρ εἰσιν ἡμῖν φύσεως καὶ μετὰ τὴν παροῦσαν ζωήν. Οἱ δὲ ἄγγελοι μέσοι ὑπάρχουσι Θεοῦ καὶ ἡμῶν, καὶ διὰ τοῦτο κατὰ τὸν κοινὸν αὐτῶν νόμον διοικοῦσι καὶ τὰ ἀνθρώπινα καὶ τὰ σωματικά. Οὔτε παρεμβάλλουσιν ἑαυτοὺς οἱ ἅγιοι τοῖς τῶν ζώντων πράγμασιν· κατὰ δέ τινα ἰδίαν συγχώ-
f. 278 ρησιν πολλάκις ἐνδίδοταί | τισι τῶν ἁγίων ἢ ζῶσιν ἢ τεθνηκόσιν τὰς τοιαύτας λειτουργίας πληροῦν, ἢ θαύματα ποιεῖν, ἢ δαίμονας ἄγχειν, ἤ τι τοιοῦτον, ὡς Αὐγουστῖνος φησίν.

## CIX. — Περὶ τῆς τάξεως τῶν πονηρῶν ἀγγέλων.

1. Ὅτι ἔστιν ἐν τοῖς δαίμοσι τάξις, οὐ κατὰ τὴν τελειότητα τῆς δόξης· οὐδέποτε γὰρ ἐν ταῖς ἀγγελικαῖς τάξεσιν οἱ δαίμονες ἐγένοντο ἤ εἰσιν ἐν τῇ συντετελεσμένῃ δόξῃ. Εἰ δὲ θεωροῖντο ἐν ἀτελείᾳ κατὰ τὴν χάριν, γεγόνασιν ἐν ταῖς τάξεσι τῶν ἀγγέλων, ὡς εἴρηται πάντας ἐν χάριτι κτισθῆναι, ἀλλ' ἐξέπεσον. Εἰ δὲ θεωροῖντο κατὰ τὸν φυσικὸν βαθμόν, ἔτι ἐν ταῖς τάξεσιν ἐκείναις εἰσίν· οὐ γὰρ ἀπέβαλον τὰ φυσικὰ δῶρα, ὥς φησι Διονύσιος. Καθόσον οὖν ἀγαθὴν ἔχουσι φύσιν, — ἀδύνατον γὰρ τὸ κακὸν ἄνευ τοῦ ἀγαθοῦ εὑρεθῆναι — καὶ τεταγμένοι εἰσίν.

Καὶ ἡ τάξις αὐτῶν πρὸς μὲν τὸν Θεὸν ἱερά ἐστι· χρῆται γὰρ αὐτῇ

---

5 I Cor. 15, 24 12 Matth. 22, 30 17 *μετενεγχθῆναι* sic A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δι' ἑαυτόν· πρὸς δὲ τὴν τῶν δαιμόνων θέλησιν οὐχ ἱερά· ἀποχρῶνται γὰρ τῇ φύσει εἰς τὸ πονηρόν.

Εἰ δὲ καὶ ἀρχαὶ καὶ ἐξουσίαι λέγονται, καὶ κοσμοκράτορες τοῦ σκότους τούτου, ἀλλὰ σεραφὶμ οὐ λέγονται· οὐ γὰρ ἔχουσιν ἀγάπην ζέσεως· οὔτε θρόνοι, ἀπὸ τῆς θείας ἐνοικήσεως· οὔτε κυριότητες, ἀπὸ τῆς ἐλευθερίας· ταῦτα γὰρ πάντα τῇ ἁμαρτίᾳ ἀντίκεινται, καὶ διὰ τοῦτο τοῖς ἐν ἁμαρτίᾳ οὖσιν οὐκ ἀποδίδονται.

2. Ὅτι ἐν τοῖς δαίμοσιν ἔστιν ἀρχή. Φυσικῇ τε γὰρ τάξει ὑπ' ἀλλήλους εἰσὶ τεταγμένοι καὶ ταῖς ἐνεργείαις ἀκολούθως· προσήκει γὰρ τῇ θείᾳ σοφίᾳ μηδὲν ἐν τῷ παντὶ παραλιπεῖν ἄτακτον. Ἵδρυται δὲ ἐπ' οὐδεμιᾶς ἰδίας δικαιοσύνης ἡ τάξις αὐτῶν, ἀλλ' ἐπὶ τῆς θείας τοῦ πάντα τάττοντος.

Καὶ ἡ ὁμόνοια, ᾗ ἀλλήλοις ὑποτάττονται, οὐ διὰ φιλίαν ἐστὶν ἑαυτῶν, ἀλλ' ἐκ τῆς κοινῆς πονηρίας, ᾗ τοὺς ἀνθρώπους μισοῦσι καὶ τῷ Θεῷ μάχονται. Ἔστι γὰρ καὶ ἀσεβῶν ἀνθρώπων ἴδιον συνάπτειν ἑαυτοὺς καὶ ὑποττάτειν πρὸς τὸ τὴν ἰδίαν πονηρίαν ἀποπληροῦν οὓς ἰσχυροτέρους ὁρῶσι κατὰ τὴν δύναμιν, κἂν μηδεμίαν πρὸς αὐτοὺς εὔνοιαν ἔχωσιν.

Εἰ δὲ τὸ κακῶς ποιεῖν μάλιστά ἐστιν ἀθλιώτατον, τὸ ἐν τοῖς κακοῖς ἔχειν τὸ πρωτεῖον οὐκ εὐδαῖμον ἀλλ' ἀθλιώτατον, ὥστε καὶ μᾶλλον κακόν ἐστι τοῖς ὑψηλοτέροις ἢ τῶν ὑποδεεστέρων ὑποταγὴ πρὸς αὐτούς.

3. Ὅτι οὐκ ἔστιν ἐν αὐτοῖς φωτισμός. Ὁ γὰρ φωτισμὸς μετὰ καθάρσεως καὶ τελειώσεως ἐστίν, ὡς εἴρηται· τὸ δὲ καθαίρειν οὐ | προσήκει f. 278v τοῖς δαίμοσιν· „Ἐξ ἀκαθάρτου γάρ, φησί, τίς καθαρθήσεται“ (ὁ Ἐκκλησιαστής), ὥστ' οὐδὲ τὸ φωτίζειν.

Ἔτι, ὁ φωτισμὸς ἀληθείας ἐστὶ φανέρωσις, καθόσον ἔχει τάξιν πρὸς τὸν Θεόν, τὸν φωτίζοντα πάντα νοῦν.

Ἄλλως δὲ ἡ τῆς ἀληθείας φανέρωσις ὁμιλία ἐστίν· τῇ δὲ διαστροφῇ τῶν ἀγγέλων ἀνοίκειον τὸ βούλεσθαί τινα τάττειν ἄλλον εἰς τὸν Θεόν, ἀλλὰ μᾶλλον τῆς θείας ἀπάγειν τάξεως. Ὅθεν οὐ φωτίζει εἰς ἕτερον, ἀλλὰ μόνον τὸ ἑαυτοῦ νόημα νοερῶς δύναται δηλοῦν.

4. Ὅτι οἱ ἀγαθοὶ ἄγγελοι τῶν πονηρῶν ἄρχουσιν, οὐ κατ' αἰτίαν, ὡς ὁ Θεός, ἀλλὰ κατὰ μετοχήν, ὡς ἀπολαύοντες τοῦ Θεοῦ καὶ ἔγγιστα ὄντες αὐτοῦ. Ἀποκαλύπτονται δὲ δι' αὐτῶν πολλὰ τῶν θείων μυστηρίων τοῖς πονηροῖς, ὅταν ἡ θεία δικαιοσύνη τοῦτ' ἀπαιτῇ, ὥστε διὰ τῶν δαιμόνων γενέσθαι τινὰ ἢ πρὸς τὴν τῶν πονηρῶν κόλασιν, ἢ πρὸς διέγερσιν τῶν ἀγαθῶν, ὡς ἐν τοῖς ἀνθρωπίνοις οἱ τοῦ δικαστοῦ πάρεδροι τοῖς δημίοις ἀποκαλύπτουσι τὴν ἀπόφασιν τοῦ δικαστοῦ. Αὗται δὲ αἱ ἀποκαλύψεις τοῖς μὲν ἀγαθοῖς τοῖς ἀποκαλύπτουσι φωτισμός εἰσι· τάττουσι γὰρ αὐτὰς εἰς

23 Eccli. 34, 4

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Θεόν· τῇ δὲ πρὸς τοὺς δαίμονας παραθέσει, οὐδαμῶς· τάττουσι γὰρ εἰς τὴν τῆς ἰδίας πονηρίας ἐκπλήρωσιν. Ἑπόμενοι δὲ οἱ ἄγγελοι τῇ θείᾳ σοφίᾳ, συγχωροῦσι καὶ αὐτοὶ ἢ οὐ κωλύουσι τοὺς πονηροὺς βλάπτειν ἐνίοτε. Καὶ ὁ ταπεινότερος δὲ τῇ τῆς φύσεως τάξει ἄγγελος ἄρχει τῶν δαιμόνων, εἰ καὶ ὑψηλότεροι εἶεν ἐκεῖνοι τῇ τῆς φύσεως τάξει. Ἡ γὰρ δύναμις τῆς θείας δικαιοσύνης, ᾗ προσέχουσιν οἱ ἀγαθοὶ ἄγγελοι, δυνατωτέρα ἐστὶ τῆς φυσικῆς δυνάμεως τῶν ἀγγέλων.

## CX. — Περὶ τῆς ἡγεμονίας τῶν ἀγγέλων, πρὸς τὴν σωματικὴν κτίσιν.

1. Ὅτι διὰ τῶν ἀγγέλων ἡ σωματικὴ διοικεῖται κτίσις· τοῦτο γὰρ οὐχ ὑπὸ τῶν ἁγίων διδασκάλων λέγεται μόνον, ἀλλὰ καὶ ὑπὸ τῶν φιλοσόφων τῶν τὰς ἀσωμάτους οὐσίας τιθέντων.

2. Ὅτι ἡ εἰδοποίησις τῆς ὕλης οὐχ ὑπακούει τῷ νεύματι τῶν ἀγγέλων, ἀλλ' ἢ παρὰ τοῦ Θεοῦ ἐστιν ἀμέσως, ἢ παρά τινος ποιοῦντος σωματικοῦ. Μεταβάλλει μέντοι τὴν ὕλην ὑψηλότερον τρόπον ὁ ἄγγελος ἢ τὰ σωματικῶς ποιοῦντα, κινῶν αὐτὰ ὡς αἰτία ὑψηλοτέρα· τοῦτο δὲ οὐκ ἔστιν ὑπείκειν
f. 279 τῷ νεύματι τῶν ἀγγέλων | τὴν ὕλην· οὐδὲ γὰρ τῷ νεύματι τῶν ὀψοποιῶν ὑπείκει ἡ ὕλη, ἐνεργούντων τρόπους τινὰς ἑψήσεως διὰ τοῦ πυρός, τῆς τέχνης αὐτοὺς ῥυθμιζούσης, ὅπερ καθ' ἑαυτὸ οὐκ ἂν ἐποίει τὸ πῦρ.

3. Ὅτι ὑπείκουσι τὰ σώματα τοῖς ἀγγέλοις πρὸς τὴν κατὰ τόπον κίνησιν. Ἡ γὰρ ὑποκάτω φύσις κατὰ τὸ ἄκρον αὐτῆς ἅπτεται τῆς τῶν ἀσωμάτων καὶ ἄκρων φύσεως· πασῶν δὲ τῶν σωματικῶν κινήσεων ἡ κατὰ τόπον τελειότερον διὰ τὸ τὸ οὕτω κινητὸν οὐκ εἶναι δυνάμει πρός τι τῶν ἔνδον, ἀλλὰ μόνον πρός τι τῶν ἔξω, ἤγουν τὸν τόπον· καὶ διὰ τοῦτο ἡ σωματικὴ φύσις πέφυκεν ἀμέσως κινεῖσθαι κατὰ τόπον ὑπὸ τῆς ἀσωμάτου, ὥσπερ ὁρῶμεν τὴν ψυχὴν κινοῦσαν τὸ σῶμα πρώτως καὶ ἀρχοειδῶς κινήσει τοπικῇ.

Ἔχουσι μέντοι οἱ ἄγγελοι δύναμιν ἧττον διακεκριμένην ἢ αἱ ψυχαί. Ὅθεν ἡ κινητικὴ δύναμις τῆς ψυχῆς ἐστιν ἐν τῷ ἡνωμένῳ σώματι, ὃ ζῶν ποιεῖται δι' αὐτῆς, καὶ οὗ μεσιτεύοντος δύναται τὰ ἄλλα κινεῖν· ἡ δὲ τοῦ ἀγγέλου δύναμις οὐκ ἔστιν ἔν τινι σώματι ὡς εἶδος· ὅθεν δύναται καὶ τὰ μὴ ἡνωμένα σώματα κατὰ τόπον κινεῖν.

4. Ὅτι οὐ δύνανται οἱ ἄγγελοι θαύματα ποιεῖν. Λέγεται γὰρ ἐν Ψαλμοῖς· „Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ", εἴπερ κυρίως τὸ θαῦμα νοοῖτο, τουτέστι τὸ παρὰ τὴν τῆς ὅλης κτιστῆς φύσεως τάξιν γινόμενον. Εἰ δέ τι γίνοιτο παρὰ τὴν τάξιν τινὸς φύσεως μερικῆς, οὐκ ἂν εἴη θαῦμα· οὐ γὰρ θαῦμα, εἴ τις ῥίπτοι λίθον ἄνω. Τὸ δὴ κυρίως θαῦμα, τοῦ Θεοῦ

---

35 Ps. 71, 18

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μόνου ποιεῖν. Λέγονται δέ τινες ἄγγελοι ποιεῖν καὶ τοιαῦτα θαύματα ἢ ὅτι πρὸς τὰς ἐκείνων δεήσεις θαυματουργεῖ ὁ Θεός, ὥσπερ καὶ ἐπὶ τῶν ἁγίων ἀνδρῶν γίνεται, ἢ ὅτι παρέχουσί τινα διακονίαν ἐν τοῖς ἐκ Θεοῦ γινομένοις θαύμασιν, ὡς ἐν τῇ ἀναστάσει τὴν τῶν σωμάτων κόνιν συνάγοντες, ἤ τι τοιοῦτον ποιοῦντες.

## CXI. — Περὶ τῆς τῶν ἀνθρώπων ὑπὸ τῶν ἀγγέλων μεταβολῆς.

1. Ὅτι δυνατὸν τὸν ἄνθρωπον φωτίζεσθαι ὑπὸ τοῦ ἀγγέλου, ἀποκαλυπτόμενον δι' αὐτοῦ ἔνια τῶν θείων καὶ ὑψηλῶν. Προβάλλει τε γὰρ ὁ ἄγγελος τῷ ἀνθρώπῳ τὴν νοητὴν ἀλήθειαν καθ' ὁμοιότητα τῶν αἰσθητῶν διὰ τὸ τὸν ἀνθρώπινον νοῦν ἐνταῦθα μὴ δύνασθαι τὴν νοητὴν ἀλήθειαν γυμνὴν δέξασθαι, συμφυῶς ὄντος αὐτῷ τοῦ νοεῖν διὰ τῆς πρὸς τὰ φαντάσματα ἐπιστροφῆς· διό φησι καὶ ὁ Διονύσιος, ὡς ἀδύνατον ἄλλως ἡμῖν ἐπιλάμψαι τὴν | θείαν ἀκτῖνα μὴ τῇ ποικιλίᾳ τῶν ἱερῶν παραπετασμάτων f. 279v κεκαλυμμένην. Καὶ ῥώννυσι δὲ τὸν ἀνθρώπινον νοῦν ὡς ἂν ταπεινότερον ὁ ἀγγελικὸς τῇ ἐνεργείᾳ αὐτοῦ.

Φωτίζονται δὲ οἱ ἄνθρωποι ὑπὸ τῶν ἀγγέλων οὐ μόνον περὶ τῶν πρακτέων, ἀλλὰ καὶ περὶ τῶν δεόντων πιστεύεσθαι, τρόπον τινὰ προβαλλόντων αὐτοῖς ἃ δεῖ πιστεύεσθαι ὑπ' αὐτῶν, ὃ καὶ δι' ἀνθρώπου γίνεται καθὸ ἡ πίστις ἐξ ἀκοῆς ἐστιν· οὐ μέντοι γε διατιθέντων τὸν νοῦν πρὸς τὸ συγκατατίθεσθαι τῇ τῆς πίστεως ἀληθείᾳ· τοῦτο γὰρ ἐκ μόνου ἐστὶ τοῦ Θεοῦ.

2. Ὅτι ὁ ἄγγελος οὐ μεταβάλλει τὴν ἀνθρωπίνην θέλησιν, ἀλλ' ὁ Θεὸς μόνος, ὡς ἐν Παροιμίαις λέγεται· „Καρδία βασιλέως ἐν χειρὶ Θεοῦ, καὶ ὅπου ἂν θέλῃ, στρέφει αὐτήν". Ἔνδοθεν μὲν οὖν ὁ Θεὸς μόνος κινεῖ τὴν θέλησιν τοῦ ἀνθρώπου, ὃς καὶ δίδωσι τῇ νοερᾷ φύσει τὴν δύναμιν τῆς ἑκουσίου ῥοπῆς. Ἐπεὶ δὲ κινεῖται τινὰ τρόπον καὶ ἔξωθεν ἡ θέλησις, καὶ οὕτω ποιητικῶς μὲν μόνος ὁ Θεὸς κινεῖ, αἴτιος ὢν τοῦ καταλαμβάνεσθαί τι ὡς ἀγαθὸν ἐφετόν· ὁ δὲ ἄγγελος καὶ ὁ ἄνθρωπος τρόπον πειθοῦς. Ἐπεὶ δὲ καὶ ἄλλως ἔξωθεν κινεῖται ἡ θέλησις ὑπὸ πάθους περὶ τὴν αἰσθητικὴν ἔφεσιν ὄντος, ὑπ' ὀργῆς δηλαδὴ ἢ ἐπιθυμίας, καθόσον οἱ ἄγγελοι τὰ τοιαῦτα πάθη δύνανται διεγείρειν, δύνανται κινεῖν καὶ οὕτω τὴν θέλησιν, οὐ μὴν ἐξ ἀνάγκης· ἡ γὰρ θέλησις ἀεὶ μένει ἐλευθέρα ὥστε συγκατατίθεσθαι τοῖς πάθεσιν, ἢ ἀνθίστασθαι.

3. Ὅτι ὁ ἄγγελος μεταβάλλει τὸ τοῦ ἀνθρώπου φανταστικόν. Ἀποκαλύπτουσι γάρ τινα ἐν τοῖς ὕπνοις, ὡς ὁ φανεὶς κατ' ὄναρ τῷ Ἰωσήφ. Τὰ δὲ ἐν ὕπνοις φαινόμενα φανταστικαί εἰσι θεωρίαι· ἄλλως τε εἰ τὰ σώματα

25 Prov. 21, 1

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑπείκουσιν τῷ ἀγγέλῳ πρὸς τὴν τοπικὴν κίνησιν, ἑπομένως δὲ καὶ ὅσα ἕπεται τῇ τινων σωμάτων τοπικῇ κινήσει, αἱ δὲ φανтασταὶ ἐπιφάνειαι ἔχουσιν ἐνίοτε ἐν ἡμῖν διὰ τὴν κατὰ τόπον μεταβολὴν τῶν σωματικῶν πνευμάτων ἢ τῶν χυμῶν, εὔδηλον ὅτι ὁ ἄγγελος καὶ τὸ φανταστικὸν μεταβάλλει, ὥστε τὸ τῇ φύσει γινόμενον καὶ τῇ ἀγγελικῇ δυνάμει γίνεσθαι δύνασθαι.

Οὐκ ἐνίησι δέ τι εἶδος φανταστὸν μὴ πρότερον ληφθὲν δι' αἰσθήσεως· οὐ γὰρ ἂν δύναιτο ποιεῖν τὸν τυφλὸν φαντάζεσθαι χρώματα, ἀλλὰ τοπικῇ κινήσει πνευμάτων καὶ χυμῶν τοῦτο ποιεῖ.

4. Ὅτι δύναται τὴν ἀνθρωπίνην αἴσθησιν μεταβάλλειν, ὡς οἱ καταστρέ-
f. 280 ψαντες τὰ Σόδομα ἄγγελοι | ἐπάταξαν ἀορασίᾳ οὕτως, ὡς μὴ δύνασθαι τοὺς ἐν Σοδόμοις τὴν θύραν τῆς οἰκίας εὑρεῖν. Τὸ δ' ὅμοιον λέγεται καὶ ἐν τετάρτῳ τῶν Βασιλειῶν περὶ τῶν δούλων οὓς ἤγαγεν Ἐλισσαῖος εἰς τὴν Σαμάρειαν. Δύναται γὰρ κινεῖν καὶ ἔξωθεν, προστιθείς τι αἰσθητὸν ἢ φύσει εἰδοπεποιημένον, ἢ τόθ' ὑπ' ἐκείνου εἰδοποιούμενον, ὥσπερ ὅταν τὸ σῶμα ἀναλαμβάνῃ, καὶ ἔνδοθεν κινῶν τὸ πνεῦμα καὶ τοὺς χυμούς, ἐξ ὧν διαφόρως αἱ αἰσθήσεις μεταβάλλονται.

## CXII. — Περὶ τῆς τῶν ἀγγέλων ἀποστολῆς.

1. Ὅτι οἱ ἄγγελοι ἀποστέλλονται εἰς διακονίαν. Εἴρηται γὰρ ἐν τῇ Ἐξόδῳ· „Ἐγὼ ἀποστελῶ τὸν ἄγγελόν μου, ὅστις προπορεύσεταί σου“· καὶ ὁ Ἀπόστολος· „Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα;“ Ἀποστέλλεσθαι μὲν οὖν λέγονται, διότι τῆς σωματικῆς κτίσεως δι' αὐτῶν διοικουμένης, ὡς εἴρηται, ἐπεὶ μερική ἐστιν ἡ ἀγγελικὴ δύναμις καὶ οὕτως ἐστὶν ἐνταῦθα ὁ ἄγγελος ὥστ' ἀλλαχοῦ μὴ εἶναι, ἐκ νέου ἄρχεται εἶναι ὅπου δεῖ αὐτὸν προσελθεῖν· εἰς διακονίαν δέ, ὅτι ἡ τοῦ ἀγγέλου τότε ἐνέργεια πρόεισιν ἐκ τοῦ Θεοῦ ὡς ἐκ πρώτης ἀρχῆς, καὶ εἰς τὸν Θεὸν ἀνάγεται ὡς εἰς ἔσχατον τέλος. Καὶ οὕτω διάκονοι τῆς ἐνεργείας εἰσίν· ὁ γὰρ διάκονος ὥσπερ λογικὸν ὄργανόν ἐστιν.

Οὐ κωλύεται δὲ ἡ θεωρία αὐτοῦ ὡς ἡμῶν ἡ θεωρία κωλύεται τῷ ἔξωθεν περισπασμῷ· οὐ γὰρ οὕτως ἔξω πρόεισιν, ὥστε τῶν τῆς θεωρίας ἡδέων στερεῖσθαι· δυοῖν γὰρ ἐνεργειῶν, ὧν ἡ ἑτέρα κανὼν καὶ λόγος τῆς λοιπῆς, οὐ κωλύεται ἡ ἑτέρα ὑπὸ τῆς ἑτέρας. Διακονοῦσι δὲ καὶ ἡμῖν οὐ πρώτως, ὡς τῷ Θεῷ, ἀλλ' ἑπομένως, ὡς τῷ κυρίῳ προσκολλωμένοις.

2. Ὅτι οὐ πάντες οἱ ἄγγελοι ἀποστέλλονται εἰς διακονίαν, τοῦ Διονυσίου τοῦτο ἀξιοῦντος οὕτως, ἀλλ' οἱ ἄγγελοι τῶν ὑποτεταγμένων ταγμάτων. Πρὸς γὰρ τὴν μακαρίαν παρθένον ὁ ἀρχάγγελος Γαβριὴλ ἀπεστάλη, καίτοι τοῦ μυστηρίου τούτου, ἀκροτάτου πάντων ὄντος τῶν θείων μυστη-

---

21 Exod. 23, 20 22 Heb. 1, 14

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ρίων· τὸ δὲ ἀποστολικὸν ἢ νοεῖται οὐ κατὰ τὴν ἔξω διακονίαν, ἀλλὰ κατὰ τὰ νοητὰ ἀποτελέσματα, δι' ὧν πάντες φωτιζόμενοι, καὶ πάντες τρόπον τινὰ ἀποστέλλονται· ἢ τὸ καθόλου περὶ μόνων νοεῖται τῶν ἐν τῷ δοθέντι νόμῳ διακονησάντων, ὧν πάντων δείκνυσι τὸν Χριστὸν μείζονα, ἵνα τὴν ὑπεροχὴν τῆς νέας πρὸς τὴν παλαιὰν ἀποδείξῃ.

3. Ὅτι οἱ ἀποστελλόμενοι οὐ παρίστανται τῷ Θεῷ· κυρίως γὰρ παρίστανται οἱ τῆς πρώτης ἱεραρχίας, οἱ τὰ θεῖα μυστήρια ἐν αὐτῇ τῇ τῆς θείας οὐσίας αἴγλῃ νοοῦντες. Οἱ δὲ δι' ἄλλων φωτιζόμενοι, ἢ πεμπόμενοι οὐ παρίστανται, εἰ καὶ ἄλλως παρίστανται καὶ αὐτοὶ οἱ διακονοῦντες, ὅτι πάντες ὁμοῦ οἱ ἄγγελοι τὴν θείαν οὐσίαν ἀμέσως ὁρῶσιν.

## CXIII. — Περὶ τῆς ὑπ' ἀγαθῶν ἀγγέλων φυλακῆς τῶν ἀνθρώπων. f. 280v

1. Ὅτι οἱ ἄνθρωποι φυλάττονται ὑπὸ τῶν ἀγγέλων, ὡς ἐν Ψαλμοῖς λέγεται· „Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάττειν σε ἐν πάσαις ταῖς ὁδοῖς σου". Ἐπειδὴ γὰρ ἡ τοῦ ἀνθρώπου γνῶσις καὶ διάθεσις περὶ τὰ πρακτὰ πολλαχῶς δύναται μεταβάλλειν καὶ ἀσθενεῖν περὶ τὸ ἀγαθόν, ἀναγκαῖον ἦν ὑπὸ τῆς θείας προνοίας ἀφορισθῆναι τοῖς ἀνθρώποις ἀγγέλους πρὸς φυλακήν, δι' ὧν ἂν ὁρίζοιντο καὶ κινοῖντο πρὸς τἀγαθόν.

Φυλάττεται μὲν οὖν καὶ ὑπὸ τοῦ αὐτεξουσίου ὁ ἄνθρωπος, ἀλλ' οὐκ ἀρκούντως. Ἐν γὰρ τῷ ἐφαρμόζειν τὰς καθόλου ἀρχὰς ταῖς μερικαῖς συμβαίνει τὸν ἄνθρωπον πολλαχῶς ἀσθενεῖν. Ὅθεν εἴρηται ἐν τῇ Σοφίᾳ· „Λογισμοὶ θνητῶν δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν", καὶ διὰ τοῦτο ἔδει τῆς ἀγγελικῆς φυλακῆς.

Εἰ δὲ καὶ ὁ Θεὸς ἀμέσως φυλάττει τὸν ἄνθρωπον, ὅσον ἐν τῇ πρὸς τὸ ἀγαθὸν ῥοπῇ τῆς θελήσεως ἐκ τῶν ἠθικῶν ἕξεων, ἐνιεὶς χάριν καὶ ἀρετάς, ἀλλ' ὅσον πρὸς τὸ τὸν λόγον εὑρεῖν μεθόδους οἰκείας τῇ τελειώσει τοῦ ἀγαθοῦ τῆς ἀρετῆς, φυλάττεται ἄνθρωπος ὑπὸ Θεοῦ, μεσιτευόντων ἀγγέλων.

Ἀφίστανται μέντοι ἐνίοτε οἱ ἄνθρωποι τῆς παρακινήσεως τῶν ἀγαθῶν ἀγγέλων τῆς ἀοράτως ἐπιτελουμένης τῷ φωτισμῷ τῷ δι' αὐτῶν, ὡς καὶ τῆς φυσικῆς παρακινήσεως διὰ πάθος τῆς ἁμαρτίας. Ὅθεν τὸ τοὺς ἀνθρώπους ἀπόλλυσθαι οὐ δεῖ τῇ τῶν ἀγγέλων ἀμελείᾳ λογίζεσθαι, ἀλλὰ τῇ ἀνθρωπίνῃ πονηρίᾳ. Τὸ δ' ἐνίοτε καὶ παρὰ τὸν κοινὸν νόμον ἐπιφέρεσθαι ὁρατῶς τοῖς ἀνθρώποις κατά τινα ἰδίαν χάριν ἐστὶ τοῦ Θεοῦ, θαυματουργοῦντος ὡς καὶ ἄλλα καὶ τοῦτο.

2. Ὅτι ἕκαστος ἄνθρωπος ἄγγελον ἔχει φύλακα ἀπ' αὐτῆς τῆς ἐν τῇ

15 Ps. 90, 11    24 Sap. 9, 14    32 τῷ corrigé de τῆς A



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γεννήσει προόδου. Ὡς ἐν τῷ κατὰ Ματθαῖον λέγεται ὅτι „οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς εἰσίν“.

3. Ὅτι τὸ τοὺς ἀνθρώπους φυλάσσειν τοῦ ἐσχάτου μόνου τάγματος τῶν ἀγγέλων ἐστί, κατὰ τὸν ἱερὸν Διονύσιον.

4. Ἰστέον δὲ ὅτι τῷ ἀνθρώπῳ ὁδοιπόρῳ ὄντι, διὰ τοὺς ἐν τῇ ὁδοιπορίᾳ κινδύνους ἔξωθέν τε καὶ ἔνδοθεν, ὡς ἐν τῷ Ψαλμῷ λέγεται· „Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν ὑπερήφανοι παγίδα μοι“, ἀφορίζεται φύλαξ ἄγγελος· πεπαυμένος δὲ τῆς ὁδοῦ, ἐν μὲν τῇ βασιλείᾳ ἄγγελον ἕξει συμβασιλεύοντα· ἐν δὲ τῷ ᾅδῃ, δαίμονα τιμωρούμενον. Ὁ δὲ Κύριος, ὡς ἀμέσως ταττόμενος ὑπὸ τοῦ θείου Λόγου, οὐκ ἐδεῖτο ἀγγελικῆς φυλακῆς· τῇ δὲ ψυχῇ οὐχ ὁδοιπόρος ἦν, ἀλλ' ἤδη κατειληφώς, τῷ λόγῳ μόνον τοῦ σώματος ὁδοιπόρος ἦν, καὶ διὰ τοῦτο ἄγγελοι διηκόνουν αὐτῷ ὡς ὑποτεταγμένοι.

Καὶ οἱ ἀπόστολοι δὲ οὐ στεροῦνται τῆς τῇ ὅλῃ φύσει κεχαρισμένης
f. 281 θεόθεν προνοίας, καὶ εἰ μὴ βοηθοῦνται τῇ τῶν | ἀγγέλων φυλακῇ πρὸς τὸ δι' ἀγαθῶν ἔργων τυχεῖν τῆς αἰωνίου ζωῆς, ἀλλ' ὅσον πρὸς τό τινων λυτρωθῆναι κακῶν, δι' ὧν καὶ ἑαυτοὺς καὶ ἄλλους δύνανται βλάπτειν· καὶ αὐτοὶ γὰρ οἱ δαίμονες ἀποσοβοῦνται διὰ τῶν ἀγαθῶν ἀγγέλων, ὥστε μὴ βλάπτειν ὅσον αὐτοὶ βούλονται.

6. Ὅτι ὁ φύλαξ ἄγγελος οὐδέποτε ἀπολιμπάνει τὸν ἄνθρωπον, οὗ πρὸς τὴν φυλακὴν ἀποτέτακται. Εἰ γὰρ οἱ δαίμονες ἀεὶ πολεμοῦσιν ἡμῖν, πολλῷ μᾶλλον ἀεὶ φυλάττουσιν οἱ ἀγαθοὶ ἄγγελοι· οὐδὲν γὰρ παντελῶς τῆς θείας προνοίας ἐκκλείεται, καὶ διὰ τοῦτο οὔτε ὁ Θεὸς ἀφίησιν τὸν ἄνθρωπον παντελῶς, οὔτε ὁ ἄγγελος· ἀλλ' ἐγκαταλιμπάνει μὲν ὁ Θεός, ὡς εἴωθε λέγεσθαι, καθόσον συγχωρεῖ τι πάθος παθεῖν, ἢ τιμωρίας, ἢ ἁμαρτίας· ὡσαύτως δὲ ὁ ἄγγελος ὁ τὴν περὶ τὸν ἄνθρωπον τοῦ Θεοῦ πρόνοιαν ἀποπληρῶν· ἰδίως δὲ λέγεται ἐγκαταλιμπάνειν ὁ ἄγγελος, καθόσον οὐ κωλύει τὸ περιπεσεῖν αὐτὸν λύπῃ τινὶ ἢ ἁμαρτίᾳ κατὰ τὴν τάξιν τῶν θείων κριμάτων.

7. Ὅτι οἱ ἄγγελοι οὐκ ἀλγοῦσιν ἐπὶ τοῖς κακοῖς τῶν φυλασσομένων· οὐδὲν γὰρ ἐν τῷ κόσμῳ συμβαίνει ἐναντίον τῇ ἀγγελικῇ καὶ τῶν μακαρίων θελήσει, ἥτις παντελῶς ἔχει τι τῆς τάξεως τῆς θείας δικαιοσύνης· ὅθεν οὐδὲ λυπηρόν· ὅπου γὰρ ὀδύνη καὶ λύπη, οὐκ εὐδαιμονία ἐκεῖ. Καθόλου μὲν οὖν οὐ βούλονται τὰ ἁμαρτήματα καὶ τὰς τιμωρίας τῶν ἀνθρώπων· θέλουσι μέντοι τὴν τάξιν τῆς θείας δικαιοσύνης φυλάττεσθαι, καθ' ἣν τινες καὶ τιμωροῦνται καὶ ἁμαρτάνειν συγχωροῦνται. Μεταφορικῶς δὲ περὶ τῶν ἀγγέλων καὶ ἡ χαρὰ καὶ ἡ λύπη λέγεται, καθόσον οἱ ἄγγελοι καθόλου τὴν τῶν ἀνθρώπων θέλουσι σωτηρίαν, ὃ καὶ περὶ τοῦ Θεοῦ λέγεται.

1 Matth. 18, 10    6 Ps. 141, 4

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

8. Ὅτι ἐν τοῖς ἀγγέλοις ἔστι μάχη ἢ φιλονεικία τῷ λόγῳ τῆς φυλακῆς, ὡς ἐν τῇ παλαιᾷ τοιαῦτα εὑρίσκεται· τοῦτο δὲ γίνεται, διότι τὰ θεῖα κρίματα περὶ διαφόρους βασιλείας καὶ ἀνθρώπους διὰ τῶν ἀγγέλων πληροῦνται, οἵτινες ἐν ταῖς ἑαυτῶν ἐνεργείαις κατὰ τὴν θείαν πρόνοιαν ἔχουσι τὸν κανόνα. Συμβαίνει δέ ποτε ἐν ταῖς διαφόροις βασιλείαις ἢ διαφόροις ἀνθρώποις ἐναντίας ἀρετὰς ἢ κακίας εὑρίσκεσθαι, ὥστε τοῦτον μὲν δεῖν διὰ ταῦτα ὑποτετάχθαι, ἐκεῖνον δὲ ἄρχειν· τί δ' ἐπὶ τούτοις ἡ τάξις τῆς θείας προνοίας βούλεται, οὐ δύνανται γινώσκειν, μὴ ἀποκαλύπτοντος τοῦ Θεοῦ· ὅθεν περὶ αὐτῶν τὴν θείαν ἐπερωτῶσι σοφίαν. Ὡς οὖν περὶ ἐναντίων ἐπερωτῶντες ἀνθίστασθαι λέγονται, οὐχ ὡς ἐναντίων οὖν αὐτοῖς τῶν θελήσεων· σύμπνοι γὰρ πάντες πρὸς τὸ ἀγαθὸν καὶ τὴν ἀποπλήρωσιν τῆς θείας ψήφου· | ἀλλ' ὅτι τὰ περὶ ὧν ἐπερωτῶσιν ἐναντία εἰσὶ καὶ f. 281v μαχόμενα.

## CXIV. — Περὶ τῆς ἐκ τῶν δαιμόνων μάχης.

1. Ὅτι πολεμοῦσι τοῖς ἀνθρώποις οἱ δαίμονες, ὡς ἐν ἕκτῳ πρὸς Ἐφεσίους λέγεται. Αὐτὸς μὲν οὖν ὁ πόλεμος ἐκ τῆς τῶν δαιμόνων πρόεισι πονηρίας· φθόνῳ γὰρ τὴν τῶν ἀνθρώπων προκοπὴν κωλύειν πειρῶνται, καὶ δι' ὑπερηφανίαν τῆς θείας ἐξουσίας ἁρπάζουσι τὴν ὁμοιότητα, πρὸς τὸν κατὰ τῶν ἀνθρώπων ἐκπέμποντες πόλεμον διακονήσοντας ἑαυτοῖς· ἡ δὲ τῆς μάχης τάξις ἐστὶ παρὰ Θεοῦ, ὃς κατὰ τάξιν οἶδε χρῆσθαι καὶ τοῖς κακοῖς, εἰς τὰ ἀγαθὰ τάττων καὶ αὐτά. Τῶν δὲ ἀγγέλων καὶ ἡ φυλακὴ καὶ ἡ τῆς φυλακῆς τάξις εἰς τὸν Θεὸν ὡς εἰς πρῶτον αἴτιον ἀναφέρεται.

Ἰστέον δὲ ὅτι οἱ δαίμονες, ἐρεθίζοντες μὲν εἰς ἁμαρτίαν, οὐ πέμπονται ὑπὸ τοῦ Θεοῦ, εἰ καὶ συγχωροῦνταί ποτε δικαίοις τοῦ Θεοῦ κρίμασιν· κολάζοντες δέ, πέμπονται ὑπ' αὐτοῦ. Ἀλλὰ τὸ κατὰ τὴν θείαν δικαιοσύνην ἐπιταττόμενον ὑπὸ τοῦ Θεοῦ αὐτοὶ πληροῦσι διεστραμμένῳ σκοπῷ, διὰ φθόνον δηλαδὴ ἢ μῖσος.

2. Ὅτι τὸ πειράζειν, ἴδιον τοῦ δαίμονος. Λέγεται μὲν γὰρ καὶ ὁ ἄνθρωπος πειράζειν τὸν Θεόν, ὅταν ὡς ἀστήρικτος πειραθῆναι τολμᾷ τῆς δυνάμεως τοῦ Θεοῦ, καὶ τοῦτ' ἔστιν ἁμάρτημα, καὶ τότε πειράζει ἵνα γνῷ μόνον· πειράζει δὲ καὶ ἄνθρωπον ἢ πρὸς τὸ βοηθῆσαι, ἢ πρὸς τὸ βλάψαι· ὁ δὲ Θεὸς λέγεται πειράζειν ἵνα γνῷ, καθὼς λέγεται καὶ γινώσκειν, ὅτι ποιεῖ τοὺς ἄλλους γινώσκειν. Οὕτω πειράζει, ἵνα φανερὸν γένηται ἄλλοις ὅπερ αὐτὸς ἐπίσταται πόρρωθεν καὶ ἀϊδίως. Λέγεται καὶ ἡ σὰρξ καὶ ὁ κόσμος πειράζειν, ἀλλ' ὀργανικῶς, ὅτι χρῆται τούτοις ὁ διάβολος πρὸς τὸ πειράζειν. Τὸ δὲ πειράζειν κυρίως τὸ ἐπὶ βλάβῃ ἐστὶν καὶ ὥστε κρημνίσαι

---

15 Titre en marge dans A: *Περὶ τοῦ πειρασμοῦ τῶν δαιμόνων*



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρὸς συμφορὰν ἢ ἁμαρτίαν, καὶ τοῦτο ἔργον ἐστὶ τοῦ δαίμονος ἴδιον· καὶ εἴ ποτε ἄνθρωπος τοῦτο ποιεῖ, ὡς ἐκείνου διάκονος ποιεῖ.

Πειράζουσι δὲ οἱ δαίμονες, ἵνα κρημνήσωσιν εἰς ἐκεῖνο τὸ πάθος εἰς ὃ μᾶλλον ἕκαστός ἐστιν εὐκατάπτωτος, ὃ οὐ δύνανται γνῶναι εἰ μὴ τῷ πειρασμῷ· τὴν γὰρ ἔνδον τοῦ ἀνθρώπου κατάστασιν ἀγνοοῦσιν, ἣν ὁ Θεὸς μόνος οἶδε, τῶν πνευμάτων ὢν ζυγοστάτης.

3. Ὅτι οὐ πάντα τὰ πάθη προΐασιν ἐν ἡμῖν ἐκ τοῦ πειρασμοῦ τοῦ δαίμονος, εἰ μὴ ἑπομένως, προηγουμένως δὲ οὐ πάντα, ἀλλ' ἔνια καὶ ἐκ τῆς τοῦ αὐτεξουσίου ἐλευθερίας καὶ τῆς φθορᾶς τῆς σαρκός. Ἀλλ' εἰ καὶ μὴ πρὸς πάντα τὰ ἁμαρτήματα ἐρεθίζει ὁ δαίμων, ἀλλ' ὑπ' ἐκείνου ἐρεθιζόμενοι οἱ ἄνθρωποι προΐασιν εἰς τὸ πληροῦν. Οὐδὲν δὲ γένος
f. 282 ἁμαρτήματός ἐστιν | ὃ μὴ πολλάκις ἐκ τῆς τῶν δαιμόνων πρόεισι συνεργείας.

4. Ὅτι καὶ διὰ θαυμάτων ἀληθῶν ἐνίοτε τοὺς ἀνθρώπους ἀπατῶσιν οἱ δαίμονες, οὐ κυρίως λεγομένου τοῦ θαύματος, ὡς προείρηται, ἀλλὰ καταχρηστικῶς, τοῦ τὴν ἀνθρωπίνην δύναμιν ἢ θεωρίαν ὑπερβαίνοντος, ὅπερ, εἰ καὶ μὴ κυρίως ἐστὶ θαῦμα, οἷα ὁ Θεὸς μόνος ποιεῖ καὶ δι' ἀγγέλων καὶ δι' ἁγίων, ἔστι μέντοι γε ἀληθὲς πρᾶγμα καὶ οὐ φάντασμα, εἰ καὶ ψευδῆ εἰσιν ἕτερον τρόπον, ὅτι ἐπὶ ψεῦδος τοὺς πιστεύοντας προσκαλοῦνται· καὶ εἰ μὴ δύνανται μεταβάλλειν τὴν ὕλην ἐξ εἴδους εἰς εἶδος, ὡς εἴρηται, ἀλλὰ δύνανται χορηγεῖν τινα σπέρματα ἐν τοῖς κοσμικοῖς εὑρισκόμενα στοιχείοις πρὸς τὸ ποιεῖν τοιαῦτα ἀποτελέσματα, ὥσπερ ὅταν τινὰ μεταβάλλονται εἰς ὄφεις ἢ βατράχους, ἃ γενέσθαι δυνατὸν διὰ σήψεως. Αἱ δὲ μεταβολαὶ τῶν σωματικῶν, ἃς τῇ δυνάμει τῆς ὕλης γενέσθαι ἀδύνατον, οὐδένα τρόπον τοῖς δαίμοσιν ἀνύονται ἀληθῶς, ὥσπερ τὸ σῶμα ἀνθρώπινον εἰς σῶμα μεταβάλλεσθαι θηριῶδες, ἢ ἀναζῆν, ἀλλ' εἰ καί ποτε τοιοῦτον ποιοῦσιν, φαινόμενόν ἐστι μόνον, οὐκ ὄν. Δύνανται γὰρ οἱ δαίμονες καὶ τὴν φαντασίαν μεταβάλλειν, καὶ ἔτι τὴν αἴσθησιν, ὥστε δοκεῖν ἄλλως τι ἢ ἐστιν, καὶ τοῦτ' ἐνίοτε γίνεται δυνάμει τινῶν σωματικῶν· καὶ ἄλλον τρόπον, ἔξωθεν ἀπατᾶν· δυνάμενοι γὰρ πλάττειν εἶδος ἐκ τοῦ ἀέρος παντοίας μορφῆς, ὥστε ἀναλαμβάνοντες αὐτὸ καὶ ὁρατῶς φαίνεσθαι ἐν αὐτῷ, κατὰ τὸν αὐτὸν λόγον τοιοῦτόν τι καὶ παντὶ σώματι περιτιθέασιν εἶδος, ὥστ' ἐν ἐκείνῳ τῷ εἴδει τὸ σῶμα φαίνεσθαι.

5. Ὅτι ὁ δαίμων ἡττηθεὶς τῆς μάχης ἀφίσταται· ἐν γὰρ τῷ κατὰ Ματθαῖον λέγεται· „Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος", τουτέστι τὸν νενικηκότα Χριστόν. Πειράζει δὲ ἄλλους, ἀλλ' οὐ τὸν αὐτόν, καὶ τὸν αὐτὸν οὐκ ἀεί, ἀλλὰ μέχρι τινὸς οὐ πειράζει· „Ἀπέστη γάρ, φησίν, ἀπ' αὐτοῦ, συντελέσας πάντα πειρασμὸν μέχρι καιροῦ"· ὁ γὰρ Θεὸς καὶ συγχωρεῖ πειράζειν, καὶ αὖθις ἀποσοβεῖ διὰ τὴν ἀσθένειαν τῆς φύσεως· καὶ αὐτὸς

34 Matth. 4, 11   36 Luc. 4, 13

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὁ δαίμων πανουργίᾳ ἰδίᾳ ἀναχωρεῖ· ἐπιτίθεσθαι γὰρ δειλιᾷ, φεύγων τὸ συνεχῶς θριαμβεύεσθαι. Ὅτι μέντοι πολλάκις ἐπάνεισιν εἰς ὃν καταλέλοιπεν, ἐν τῷ κατὰ Ματθαῖον λέγεται· „Ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον".

## CXV. — Περὶ τῆς ἐνεργείας τῆς σωματικῆς κτίσεως.

1. Ὅτι τισὶ σώμασι πρόσεστι τὸ ποιητικοῖς εἶναι ἄλλων, ὃ δῆλον καὶ f. 282v τῇ αἰσθήσει· δύναται γὰρ ἐνεργεῖν τὸ σῶμα, καθό ἐστιν αὐτὸ ἐνεργείᾳ, εἰς ἄλλο, καθό ἐστιν ἐν δυνάμει ἐκεῖνο· ὡς γὰρ ὁ Θεός ἐστι κινοῦν μὴ κινούμενον, καὶ διὰ τοῦτο ποιῶν μόνον ἐστίν, ἡ δὲ παθητικὴ δύναμις αὐτῷ οὐδαμῶς ἁρμόζει, οὕτως ἐστί τι κινούμενον καὶ πάσχον μόνον, ὡς ἡ ὕλη, δύναμις οὖσα ψιλή, ὡς ὁ Θεὸς ἐνέργεια εἰλικρινὴς καὶ ψιλή. Τὸ δὲ σῶμα, ἐκ δυνάμεως καὶ ἐντελεχείας συγκείμενον, ὡς ποιοῦν ἐστι καὶ πάσχον.

2. Ὅτι οἱ σπερματικοὶ λόγοι, τουτέστιν αἱ ποιητικαὶ καὶ παθητικαὶ δυνάμεις, αἵ εἰσιν ἀρχαὶ τῶν γενέσεων καὶ τῶν φυσικῶν κινήσεων, πρῶτον μὲν ἐν αὐτῷ εἰσι τῷ τοῦ Θεοῦ Λόγῳ ἀρχοειδῶς καὶ αἰτιατικῶς κατὰ λόγον ἰδεῶν· δεύτερον, ἐν τοῖς στοιχείοις τοῦ κόσμου, ἐν οἷς ἐξ ἀρχῆς παρήχθησαν ὡς ἐν καθόλου ἀρχαῖς· τρίτον, ἐν τοῖς κατὰ τὴν τοῦ χρόνου διαδοχὴν προαγομένοις ἐκ τῶν καθόλου αἰτίων, ὥσπερ ἐν ἐκείνῳ τῷ φυτῷ ἢ ἐν τούτῳ τῷ ζῴῳ ὡς ἐν μερικαῖς αἰτίαις· τέταρτον, ἐν τοῖς σπέρμασι τοῖς ἐκ τῶν ζῴων καὶ φυτῶν προαγομένοις, ἃ ἐνεργοῦσιν εἰς ἄλλα ἀποτελέσματα μερικά, ὡς αἱ πρῶται καθόλου αἰτίαι πρὸς τὰ πρῶτα ἀποτελέσματα.

3. Ὅτι τὰ οὐράνια σώματα αἴτιά εἰσι τῶν ἐν τοῖς ὑποκάτω σώμασι γινομένων ἐνταῦθα. Πᾶν γὰρ πλῆθος ἐκ τῆς μονάδος πρόεισιν, καὶ διὰ τοῦτο τὸ μὲν ἀκίνητον ὂν μοναχῶς ἐστι· τὰ δὲ κινούμενα πολλαχῶς θεωροῦνται ἐν ὅλῃ τῇ φύσει· πᾶσα γὰρ κίνησις ἐκ τοῦ ἀκινήτου πρόεισιν, καὶ διὰ τοῦτο ὅσῳ τινὰ πλέον εἰσὶν ἀκίνητα, τοσοῦτόν εἰσι καὶ μᾶλλον αἴτια τῶν μᾶλλον κινουμένων. Τὰ δὲ οὐράνια σώματα ἀκινητότερά εἰσι τῶν ἐνταῦθα σωμάτων· τοπικῇ γὰρ μόνον κινήσει κινοῦνται, καὶ διὰ τοῦτο αἱ κινήσεις τῶν ἐνταῦθα σωμάτων, ποικίλαι καὶ πολυειδεῖς οὖσαι, εἰς τὴν τοῦ οὐρανίου σώματος κίνησιν ὡς εἰς αἰτίαν ἀνάγονται.

4. Ὅτι οὐκ εἰσὶν αἴτια τῶν ἀνθρωπίνων ἐνεργειῶν τὰ οὐράνια σώματα. Εἰς μὲν γὰρ τὰ σώματα ἄντικρυς δρῶσι καὶ καθ' αὑτά. Εἰς δὲ τὰς τῆς ψυχῆς δυνάμεις, ἄντικρυς μέν, ἀλλὰ κατὰ συμβεβηκός, αἵ εἰσιν ὀργάνων σωματικῶν ἐντελέχειαι. Ἀνάγκη γὰρ τὰς ἐνεργείας τῶν τοιούτων δυνάμεων κωλύεσθαι, τῶν ὀργάνων ἐμποδιζομένων, ὥσπερ ὀφθαλμὸς ταραχθεὶς οὐ καλῶς ὁρᾷ· εἰς δὲ τὸν νοῦν καὶ τὴν θέλησιν, ἐπεὶ οὐκ εἰσὶν δυνάμεις

3 Matth. 12, 44

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006